σειομένους, τὰς ἐκ τῶν σωμάτων ἐπαναπλεούσας μετὰ
τὸν θάνατον· οἱ δ' ἄνω [δια]φερόμενοι δαίμονές εἰσι τῶν
νοῦν ἔχειν λεγομένων ἀνθρώπων. πειράθητι δὲ κατιδεῖν
ἑκάστου τὸν σύνδεσμον, ᾗ τῇ ψυχῇ συμπέφυκε.' ταῦτ'
ἀκούσας αὐτὸς ἀκριβέστερον προσέχειν καὶ θεᾶσθαι τῶν
ἀστέρων ἀποσαλεύοντας τοὺς μὲν ἧττον τοὺς δὲ μᾶλλον, |
ὥσπερ τοὺς τὰ δίκτυα διασημαίνοντας ἐν τῇ θαλάσσῃ **592**
φελλοὺς ὁρῶμεν ἐπιφερομένους· ἐνίους δὲ τοῖς κλωθο-
μένοις ἀτράκτοις ὁμοίως ἕλικα τεταραγμένην καὶ ἀνώ-
μαλον ἕλκοντας, οὐ δυναμένους καταστῆσαι τὴν κίνησιν
ἐπ' εὐθείας. λέγειν δὲ τὴν φωνὴν τοὺς μὲν εὐθεῖαν καὶ
τεταγμένην κίνησιν ἔχοντας εὐηνίοις ψυχαῖς χρῆσθαι διὰ
τροφὴν καὶ παίδευσιν ἀστείαν, οὐκ ἄγαν σκληρὸν καὶ
ἄγριον παρεχομέναις τὸ ἄλογον· τοὺς δ' ἄνω καὶ κάτω
πολλάκις ἀνωμάλως καὶ τεταραγμένως ἐγκλίνοντας, οἷον
ἐκ δεσμοῦ σπαραττομένους, δυσπειθέσι καὶ ἀναγώγοις δι' B
ἀπαιδευσίαν ζυγομαχεῖν ἤθεσι, πῇ μὲν κρατοῦντας καὶ
περιάγοντας ἐπὶ δεξιάν, πῇ δὲ καμπτομένους ὑπὸ τῶν
παθῶν καὶ συνεφελκομένους τοῖς ἁμαρτήμασιν, εἶτα πάλιν
ἀντιτείνοντας καὶ βιαζομένους. τὸν μὲν γὰρ σύνδεσμον
οἷα χαλινὸν τῷ ἀλόγῳ τῆς ψυχῆς ἐμβεβλημένον, ὅταν
ἀντισπάσῃ, τὴν λεγομένην μεταμέλειαν ἐπάγειν ταῖς
ἁμαρτίαις καὶ τὴν ἐπὶ ταῖς ἡδοναῖς, ὅσαι παράνομοι καὶ
ἀκρατεῖς, αἰσχύνην, ἀλγηδόνα καὶ πληγὴν οὖσαν ἔνδοθεν
τῆς ψυχῆς ὑπὸ τοῦ κρατοῦντος καὶ ἄρχοντος ἐπιστομι- C
ζομένης, μέχρι ἂν οὕτω κολαζομένη πειθήνιος γένηται
καὶ συνήθης ὥσπερ θρέμμα πρᾶον ἄνευ πληγῆς καὶ ἀλγη-
δόνος ὑπὸ συμβόλων ὀξέως καὶ σημείων αἰσθανομένη τοῦ
δαίμονος. ʽαὗται μὲν οὖν ὀψέ ποτε καὶ βραδέως ἄγονται καὶ
καθίστανται πρὸς τὸ δέον. ἐκ δὲ τῶν εὐηνίων ἐκείνων
⟨καὶ⟩ κατηκόων εὐθὺς ἐξ ἀρχῆς καὶ γενέσεως τοῦ οἰκείου